εἶπε δέ, "παντός σοι δεκάτην ἀπὸ λήμματος οἴσω,
  Κύπρι· σὺ δ' ἐργασίην καὶ λαβὲ καὶ μετάδος."

## III

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
  Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
τεκτοσύνῃ δ' ἐπέων πολυΐστωρ θεῖος Ὅμηρος,
  Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος ἐστὶν ὅδε.

## IV

αἰγιβάτῃ τόδε Πανὶ καὶ εὐκάρπῳ Διονύσῳ
  καὶ Δηοῖ χθονίῃ ξυνὸν ἔθηκα γέρας·
αἰτέομαι δ' αὐτοὺς καλὰ πώεα καὶ καλὸν οἶνον
  καὶ καλὸν ἀμῆσαι καρπὸν ἀπ' ἀσταχύων.

# NICOMACHUS

## I

ἅδ' ἔσθ', ἅδε Πλάταια; τί τοι λέγω; ἅν ποτε σεισμός 5511
  ἐλθὼν ἐξαπίνας κάββαλε πανσυδίᾳ·
λείφθη δ' αὖ μοῦνον τυτθὸν γένος, οἱ δὲ θανόντες
  σᾶμ' ἐρατὰν πάτραν κείμεθ' ἐφεσσάμενοι.